παῦλός φησιν, ἡ πολυποίκιλος σοφία τοῦ θεοῦ· πεποίκιλται γὰρ οὕτως ἡ περὶ ἡμᾶς τοῦ μυστηρίου σοφία· οὐ μόνον διὰ τοῦ ἐνανθρωπίζεσθαι θεὸν· καὶ γίνεσθαι τὸν ὄντα· καὶ τὸν ἄκτιστον κτίζεσθαι· καὶ τὸν ἀόρατον ὁρᾶσθαι· καὶ τὸν ἄπειρον περιγράφεσθαι· ἀλλὰ καὶ διὰ τοῦ πραγματεύσασθαι τὰ ἐναντία διὰ τῶν ἐναντίων· δόξαν διὰ ἀτιμίας· εὐλογίαν διὰ κατάρας· ἀπάθειαν διὰ παθημάτων· διὰ ἀσθενείας δύναμιν· διὰ θανάτου ζωὴν· διὰ πτώσεως ἔγερσιν· ὑπερύψωσιν διὰ ταπεινώσεως· τἆλλα ὅσα ἀποκεκάλυπται· οἷς δὲ δέδοται καταλαβεῖν τί τὸ πλάτος καὶ μῆκος καὶ βάθος καὶ ὕψος, ὅ ἐστι τὸ κατὰ τὴν σάρκωσιν καὶ τὸν σταυρὸν μυστήριον· τὸ μὲν γὰρ τὸν ὁμοούσιον σαρκωθῆναι, ὕψος ἂν εἴη καὶ βάθος· τοῦτο γὰρ καὶ ἡσαΐας δηλώσας τὸν θεὸν προφήτης ὅτε παρὰ θεοῦ σημεῖον εἰς βάθος ἢ εἰς ὕψος ὤκνησεν ἄχαζ αἰτήσασθαι· μῆκος δὲ καὶ πλάτος τὸ μὴ μόνον ἀποθανεῖν, ἀλλὰ καὶ διὰ σταυροῦ καὶ μετὰ λῃστῶν καὶ πολυειδῶν ὕβρεων καὶ τῶν ἄλλων, οἷς ὅσα καὶ διαστάσεσιν ἀπείροις ἐμπλατύνεται καὶ μηκύνεται τὸ μέγα τῆς ὑπὲρ ἡμᾶς οἰκονομίας τοῦ σταυροῦ μυστήριον· καταγγελτέον δὲ μᾶλλον ἀεὶ τὸν ἀοίδιμον τοῦ σταυροῦ θάνατον, ἐνδελεχῶς καὶ οὐκ ὀλιγάκις τῶν μυστικῶν μετέχουσιν· ὁσάκις γὰρ ἂν φησὶν ἐσθίητε τὸν ἄρτον καὶ τὸ ποτήριον πίνητε, τὸν θάνατον τοῦ κυρίου καταγγέλλετε ἄχρις ἂν ἔλθῃ· ἀλλὰ δὲ τὸν ἐγηγερμένον ἄρα καὶ τὴν ἔγερσιν ἐγηγερμένοις ἐκ τῆς φθορᾶς τῶν νεκρῶν ἔργων· καὶ μηκέτι τὸν ψυχικὸν θνήσκουσι θάνατον· σύμφυτοι γὰρ γεγόναμεν τῷ ὁμοιώματι τοῦ θανάτου αὐτοῦ, ὅ ἐστι τῷ βαπτίσματι· ὡς γὰρ ἐκεῖνος ἐτάφη ἐφ' ἡμέραις τρισὶν ὑπὸ γῆν, οὕτω καὶ ἡμᾶς τρισὶ